ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δείν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν, ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ'—ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα—νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
Ηλ. οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
Κλ. οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.
Ηλ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
Κλ. ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.
Ηλ. ὕβριζε· νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
Κλ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε;
Ηλ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
Κλ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
Πα. οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
Κλ. ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ κατάξι' ἂν
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
Ηλ. ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ

780 ἐξ] ἐφ' E[s] 781 προσστατῶν coni. Meineke 783 ἀπηλλάγην rec Suid. v. προστατῶν et fort. L[ac]: ἀπήλλαγμαι L[c] A rec 792 νέμεσις rec 795 interrogandi nota primus distinxit Monk 797 ἥκεις rec τυχεῖν L[c] A rec: φιλεῖν L[ac] Lb: φίλος Γ 798 τήνδε παύσαις Wunder 800 κατάξι' ἂν Monk: κατ' ἀξίαν rec: καταξίως L A rec 802 ἔκτοθεν L rec: ἔκτοσθεν A rec